# Lykofrón

Testimonia DK 83 A

**A 1** /1 = Aristotelés, Metaphysica VIII, 6; p. 1045b 10
οἱ μὲν μέθεξιν λέγουσι καὶ αἴτιον τί τῆς μεθέξεως καὶ τί τὸ μετέχειν ἀποροῦσιν· οἱ δὲ συνουσίαν [ψυχῆς], ὥσπερ Λυκόφρων φησὶν εἶναι τὴν ἐπιστήμην τοῦ ἐπίστασθαι καὶ ψυχῆς.

**A 1** /2 = Alexandros, In Aristotelis Metaphysica comm. 566. 32-37 Hayduck
οἱ δέ φασι συνουσίαν ψυχῆς, ὥσπερ Λυκόφρων ὁ σοφιστὴς τὴν ἐπιστήμην λέγων συνουσίαν τοῦ ἐπίστασθαι καὶ ψυχῆς. κάλλιον δ᾽ ἂν καὶ σαφέστερον ἦν, εἰ οὕτω πως εἶχεν ἡ γραφὴ ᾽τὴν ἐπιστήμην τοῦ ἐπίστασθαι συνουσίαν καὶ ψυχῆς᾽. ἐρωτώμενος γὰρ ὁ Λυκόφρων, τί τὸ αἴτιον τοῦ τὴν ἐπιστήμην καὶ τὴν ψυχὴν ἓν εἶναι, ἔλεγεν ὅτι ἡ συνουσία.

**A 2** = Aristotelés, Physica I, 2; p. 185b 25
ἐθορυβοῦντο δὲ καὶ οἱ ὕστεροι τῶν ἀρχαίων ὅπως μὴ ἅμα γένηται αὐτοῖς τὸ αὐτὸ ἓν καὶ πολλά. διὸ οἱ μὲν τὸ ἔστι ἀφεῖλον, ὥσπερ Λυκόφρων, οἱ δὲ τὴν λέξιν μετερρύθμιζον, ὅτι ὁ ἄνθρωπος οὐ λευκός ἐστιν ἀλλὰ λελεύκωται ... ἵνα μή ποτε τὸ ἔστι προσάπτοντες πολλὰ εἶναι ποιῶσι τὸ ἕν.

**A 3** = Aristotelés, Politica III, 9; p. 1280b 8
γίνεται .. ἡ κοινωνία συμμαχία τῶν ἄλλων τόπωι διαφέρουσα μόνον τῶν ἄποθεν συμμαχιῶν καὶ ὁ νόμος συνθήκη καί, καθάπερ ἔφη Λυκόφρων ὁ σοφιστής, ἐγγυητὴς ἀλλήλοις τῶν δικαίων, ἀλλ᾽ οὐχ οἷος ποιεῖν ἀγαθοὺς καὶ δικαίους τοὺς πολίτας.

**A 4** = Aristotelés, Fragm. 91 R.; Stobaios, Anthologium IV, 29a, 24 Wachsmuth (= p. 710 H.)
λέγω δὲ τοῦτο, πότερον τῶν τιμίων ἐστὶ (sc. ἡ εὐγένεια) καὶ σπουδαίων ἤ, καθάπερ Λυκόφρων ὁ σοφιστὴς ἔγραψε, κενόν τι πάμπαν. ἐκεῖνος γὰρ ἀντιπαραβάλλων ἑτέροις ἀγαθοῖς αὐτήν·
᾽εὐγενείας μὲν οὖν᾽ φησίν ᾽ἀφανὲς τὸ κάλλος, ἐν λόγωι δὲ τὸ σεμνόν᾽,
ὡς πρὸς δόξαν οὖσαν τὴν αἵρεσιν αὐτῆς, κατὰ δ᾽ ἀλήθειαν οὐθὲν διαφέροντας τοὺς ἀγενεῖς τῶν εὐγενῶν.

**A 5** = Aristotelés, Rhetorica III, 3; p. 1405b 34

τὰ δὲ ψυχρὰ ἐν τέτταρσι γίγνεται κατὰ τὴν λέξιν, ἕν τε τοῖς διπλοῖς ὀνόμασιν, οἷον Λυκόφρων τὸν πολυπρόσωπον οὐρανὸν τῆς μεγαλοκορύφου γῆς καὶ ἀκτὴν δὲ στενόπορον ... μία μὲν οὖν αὕτη αἰτία, μία δὲ τὸ χρῆσθαι γλώτταις, οἷον Λυκόφρων Ξέρξην πέλωρον ἄνδρα καὶ Σκίρων σίνις ἀνήρ.

**A 6** /1 = Aristotelés, Soph. el. 15; p. 174b 32
ἐπιχειρητέον δ᾽ ἐνίοτε καὶ πρὸς ἄλλα τοῦ εἰρημένου, ἐκεῖνο ἐκλαβόντες, ἐὰν μὴ πρὸς τὸ κείμενον ἔχηι τις ἐπιχειρεῖν, ὅπερ Λυκόφρων ἐποίησε προβληθέντος λύραν ἐγκωμιάζειν.

**A 6** /2 = Alexandros, In Aristotelis Soph. comm. (?)
ἢ μᾶλλον, ἐπειδὴ ὑπό τινων ἠναγκάζετο ἐπαινέσαι τὴν λύραν, εἶτα μὴ λόγων εὐπόρει πολλῶν, μικρόν τι ἐπαινέσας τὴν αἰσθητὴν ταύτην λύραν ἐπὶ τὴν οὐράνιον ἀνηνέχθη· ἔστι γὰρ ἐν οὐρανῶι ἄστρον τι ἐξ ἄστρων πολλῶν συγκείμενον λύρα ὀνομαζόμενον, εἰς ἣν πολλοὺς καὶ ἀγαθοὺς λόγους ἐξεῦρεν.